# AESOPI FABVLAE (XXV)

## 289-ΣΑΛΠΙΓΚΤΗΣ

σαλπιγκτὴς στρατὸν ἐπισυνάγων καὶ κρατηθεὶς ὑπὸ τῶν πολεμίων ἐβόα· «μὴ κτείνετέ με, ὦ ἄνδρες, εἰκῇ καὶ μάτην. οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα· πλὴν[1] γὰρ τοῦ χαλκοῦ τούτου οὐδὲν ἄλλο κτῶμαι.» οἱ δὲ πρὸς αὐτὸν ἔφασαν· «διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ[2], ὅτι σὺ μὴ δυνάμενος πολεμεῖν τοὺς πάντας πρὸς μάχην ἐγείρεις.»

ὁ μῦθος δηλοῖ, ὅτι πλέον πταίουσιν οἱ τοὺς κακοὺς καὶ βαρεῖς δυνάστας ἐπεγείροντες εἰς τὸ κακοποιεῖν.

---

[1] **πλὴν.** Preposición impropia. Rige genitivo

[2] **τεθνήξῃ.** Aunque es un futuro perfecto medio, tradúzcase simplemente como futuro imperfecto